CAMBRIDGE

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information

# ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩΙ.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.
ΑΝΤΙΓΟΝΗ.
ΞΕΝΟΣ.
ΧΟΡΟΣ ΑΤΤΙΚΩΝ ΓΕΡΟΝΤΩΝ.
ΙΣΜΗΝΗ.
ΘΗΣΕΥΣ.
ΚΡΕΩΝ.
ΠΟΛΥΝΕΙΚΗΣ.
ΑΓΓΕΛΟΣ.

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information

# ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩΙ.

### ΟΙΔΙΠΟΥΣ.

**ΤΕΚΝΟΝ** τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ᾽ ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ᾽ ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασιν;
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ᾽ ἔτι
μεῖον φέροντα, καὶ τόδ᾽ ἐξαρκοῦν ἐμοί·
στέργειν γὰρ αἱ πάθαι με χὡ χρόνος ξυνὼν
μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον.
ἀλλ᾽, ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθώμεθα
ὅπου ποτ᾽ ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, ἃν δ᾽ ἀκούσωμεν τελεῖν.

### ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ᾽ Οἰδίπους, πύργοι μὲν οἳ
πόλιν στέγουσιν, ὡς ἀπ᾽ ὀμμάτων, πρόσω·
χῶρος δ᾽ ὅδ᾽ ἱρός, ὡς σάφ᾽ εἰκάσαι, βρύων

9 θάκοισιν MSS.: corr. Seidler. 11 πυθοίμεθα MSS.: corr. Brunck. 13 ἂν δ᾽ Elmsley: ἂν L, A: χἂν r. 16 ὡς σάφ᾽ εἰκάσαι A: ὡς ἀφεικάσαι L (with π written over φ by S): ὡς ἀπεικάσαι vulg.



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information



δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου·
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
ΟΙ. κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ. χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙ. ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;
ΑΝ. τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.
ΟΙ. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν ἐμπόρων.
ΑΝ. ἀλλ' ὅστις ὁ τόπος ἦ μάθω μολοῦσά ποι;
ΟΙ. ναί, τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
ΑΝ. ἀλλ' ἐστὶ μὴν οἰκητός· οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
ΟΙ. ἦ δεῦρο προσστείχοντα κἀξορμώμενον;
ΑΝ. καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ', ὡς ἀνὴρ ὅδε.
ΟΙ. ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὑτῆς θ' ὁρώσης οὕνεχ' ἡμὶν αἴσιος
σκοπὸς προσήκεις ὧν ἀδηλοῦμεν φράσαι—

ΞΕΝΟΣ.

πρίν νυν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ'· ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
ΟΙ. τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;
ΞΕ. ἄθικτος οὐδ' οἰκητός· αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;
ΞΕ. τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.
ΟΙ. ἀλλ' ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο·
ὡς οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.

30 προστείχοντα MSS.: corr. Dindorf. 35 ὧν Elmsley: τῶν MSS.
42 ἐνθάδ' ὧν MSS.: corr. Vauvilliers. 45 ὡς Elmsley: ὥστ' MSS.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information



ΞΕ. τί δ' ἐστὶ τοῦτο; ΟΙ. ξυμφορᾶς ξύνθημ' ἐμῆς.
ΞΕ. ἀλλ' οὐδ' ἐμοί τοι τοὐξανιστάναι πόλεως
δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.
ΟΙ. πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς,
τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.
ΞΕ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.
ΟΙ. τίς ἔσθ' ὁ χῶρος δῆτ' ἐν ᾧ βεβήκαμεν;
ΞΕ. ὅσ' οἶδα κἀγὼ πάντ' ἐπιστήσει κλύων.
χῶρος μὲν ἱρὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
ΞΕ. καὶ κάρτα, τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
ΟΙ. ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
ΞΕ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
ΟΙ. οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
ΟΙ. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ. ὡς πρὸς τί λέξων ἢ καταρτύσων μολεῖν;
ΟΙ. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα.
ΞΕ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ. ὅσ' ἂν λέγωμεν πάνθ' ὁρῶντα λέξομεν.
ΞΕ. οἶσθ', ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος·
αὐτοῦ μέν', οὗπερ κἀφάνης, ἕως ἐγὼ

47 ἐμόν τοι MSS.: corr. Seidler. 71 μολεῖν r: μόλοι L.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information



τοῖς ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις
λέξω τάδ' ἐλθών· οἵδε γὰρ κρινοῦσί σοι
εἰ χρή σε μίμνειν ἢ πορεύεσθαι πάλιν.
ΟΙ. ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;
ΑΝ. βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙ. ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγώ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μέν, οἰκήσαντα, τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα,
ἢ σεισμόν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.
ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ' ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ' εἰς τόδ' ἄλσος. οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ' ἀσκέπαρνον. ἀλλά μοι, θεαί,
βίου κατ' ὀμφὰς τὰς Ἀπόλλωνος δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
ἴτ', ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ', ὦ μεγίστης Παλλάδος καλούμεναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,

78 τοῖς Turnebus: τοῖσδ' MSS. 80 εἰ χρή Turnebus: ἢ χρή MSS.
92 οἰκίσαντα conj. Doederlein.

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information



οἰκτίρατ' ἀνδρὸς Οἰδίπου τόδ' ἄθλιον
εἴδωλον· οὐ γὰρ δὴ τό γ' ἀρχαῖον δέμας.
ΑΝ. σίγα. πορεύονται γὰρ οἵδε δή τινες
χρόνῳ παλαιοί, σῆς ἕδρας ἐπίσκοποι.
ΟΙ. σιγήσομαί τε καὶ σύ μ' ἐξ ὁδοῦ πόδα
κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῷ μαθεῖν
ἔνεστιν ηὑλάβεια τῶν ποιουμένων.

## ΧΟΡΟΣ.

στρ. α'. ὅρα· τίς ἄρ' ἦν; ποῦ ναίει;
2 ποῦ κυρεῖ ἐκτόπιος συθεὶς ὁ πάντων,
3 ὁ πάντων ἀκορέστατος;
4 προσδέρκου, λεῦσσε δή,
5 προσπεύθου πανταχῇ·
6 πλανάτας,
7 πλανάτας τις ὁ πρέσβυς, οὐδ' ἔγχωρος· προσέβα
γὰρ οὐκ ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
8 τᾶνδ' ἀμαιμακετᾶν κορᾶν, ἃς τρέμομεν λέγειν καὶ
9 παραμειβόμεσθ' ἀδέρκτως, ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφάμου στόμα φροντίδος
10 ἱέντες· τὰ δὲ νῦν τιν' ἥκειν λόγος οὐδὲν ἅζονθ',
11 ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
12 δύναμαι τέμενος γνῶναι ποῦ μοί
13 ποτε ναίει.

σύστ. α'. ΟΙ. ὅδ' ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ,
τὸ φατιζόμενον.
ΧΟ. ἰὼ ἰώ,
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.

113 ἐξ ὁδοῦ πόδα MSS.: ἐκποδὼν ὁδοῦ conj. H. Keck. 121 λεύσατ' αὐτὸν προσδέρκου | προσπεύθου πανταχῆι L: προσπεύθου, λεῦσσέ νιν, | προσδέρκου πανταχῇ Hermann: and so Schneidewin, but without transposing προσδέρκου and προσπεύθου. (δή instead of νιν J.)

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information



ΟΙ. μή μ', ἱκετεύω, προσίδητ' ἄνομον.
ΧΟ. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
ΟΙ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δηλῶ δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
ὄμμασιν εἷρπον
κἀπὶ σμικροῖς μέγας ὥρμουν.

ἀντ. α΄. ΧΟ. ἐή· ἀλαῶν ὀμμάτων
2 ἆρα καὶ ἦσθα φυτάλμιος; δυσαίων
3 μακραίων θ', ὅσ' ἐπεικάσαι.
4 ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
5 προσθήσει τάσδ' ἀράς.
6 περᾷς γάρ,
7 περᾷς· ἀλλ' ἵνα τῷδ' ἐν ἀφθέγκτῳ μὴ προπέσῃς
νάπει ποιάεντι, κάθυδρος οὗ
8 κρατὴρ μειλιχίων ποτῶν ῥεύματι συντρέχει· τό,
9 ξένε πάμμορ', εὖ φύλαξαι· μετάσταθ', ἀπόβαθι.
πολλὰ κέλευθος ἐρατύει·
10 κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα; λόγον εἴ τιν' οἴσεις
11 πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβάς,
12 ἵνα πᾶσι νόμος, φώνει· πρόσθεν δ'
13 ἀπερύκου.

σύστ. β΄. ΟΙ. θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
ΑΝ. ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ κἀκούοντας.
ΟΙ. πρόσθιγέ νύν μου. ΑΝ. ψαύω καὶ δή.
ΟΙ. ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
σοὶ πιστεύσας καὶ μεταναστάς.

152 ὡς ἐπεικάσαι MSS.: corr. Bothe. 153 προσθήσεις MSS.: corr. Blaydes and Postgate. 156 προσπέσῃς MSS.: corr. Hermann. 161 τό Heath: τῶν L (τὸν r). 166 εἴ τιν' ἔχεις MSS.: but L has οἴσεις superscript (prob. by S). 172 κ' οὐκἀκούοντας L: κοὐκ ἀκούοντας or κοὐκ ἄκοντας r: corr. Musgrave.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information



στρ. β'. ΧΟ. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων, ὦ
γέρον, ἄκοντά τις ἄξει.
ΟΙ. 2 ἔτ' οὖν; ΧΟ. ἔτι βαῖνε πόρσω.
ΟΙ. 3 ἔτι; ΧΟ. προβίβαζε, κούρα,
4 πόρσω· σὺ γὰρ ἀΐεις.
ΑΝ. 5 ⏑ ⏑ ⏑ | ⏖ ⏑ | – ⏑ | ⊔ ‖ –
ΟΙ. 6 – – – – 𝄐‖
ΑΝ. 7 ⏑ | ⏖ ⏑ | – ⏑ | – ∧ ⟧
8 ἕπεο μάν, ἕπε' ὧδ' ἀμαυρῷ κώλῳ, πάτερ, ᾇ σ' ἄγω.
ΟΙ. 9 – > | ⏖ ⏑ | ⊔ | – ∧ ⟧
ΧΟ. 10 τόλμα ξεῖνος ἐπὶ ξένης,
11 ὦ τλάμων, ὅ τι καὶ πόλις
12 τέτροφεν ἄφιλον ἀποστυγεῖν
13 καὶ τὸ φίλον σέβεσθαι.

σύστ. γ'. ΟΙ. ἄγε νυν σύ με, παῖ,
ἵν' ἂν εὐσεβίας ἐπιβαίνοντες
τὸ μὲν εἴποιμεν, τὸ δ' ἀκούσαιμεν,
καὶ μὴ χρείᾳ πολεμῶμεν.

ἀντ. β'. ΧΟ. αὐτοῦ, μηκέτι τοῦδ' αὐτοπέτρου βήματος
ἔξω πόδα κλίνῃς.
ΟΙ. 2 οὕτως; ΧΟ. ἅλις, ὡς ἀκούεις.
ΟΙ. 3 ἦ ἑσθῶ; ΧΟ. λέχριός γ' ἐπ' ἄκρου
4 λᾶος βραχὺς ὀκλάσας.
ΑΝ. 5 πάτερ, ἐμὸν τόδ'· ἐν ἡσυχαίᾳ
ΟΙ. 6 ἰώ μοί μοι.
ΑΝ. 7 βάσει βάσιν ἅρμοσαι,
8 γεραὸν ἐς χέρα σῶμα σὸν προκλίνας φιλίαν ἐμάν.
ΟΙ. 9 ὤμοι δύσφρονος ἄτας.

178 ἔτ' οὖν ἔτι προβῶ; MSS.: Bothe del. ἔτι προβῶ.—ἐπίβαινε MSS.: corr. Reiske. 190 εἴποιμεν...ἀκούσαιμεν L: εἴπωμεν...ἀκούσωμεν A. 192 ἀντιπέτρου MSS.: corr. Musgrave. 195 ἦ 'σθῶ L, with γρ. ἦ στῶ; 197 ἐν ἡσυχίᾳ MSS.: corr. Reisig. 199 ἁρμόσαι MSS.: corr. Elmsley.

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge

Cambridge University Press
978-1-107-42910-9 - The Oedipus Coloneus of Sophocles: With a Commentary, Abridged from the Large Edition of Sir Richard C. Jebb
E. S. Shuckburgh
Excerpt
More information



ΧΟ. ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
αὔδασον, τίς ἔφυς βροτῶν;
τίς ὁ πολύπονος ἄγει; τίν' ἂν
σοῦ πατρίδ' ἐκπυθοίμαν;

ἀνομοιό-στρ. ΟΙ. ὦ ξένοι, ἀπόπτολις· ἀλλὰ μὴ ΧΟ. τί τόδ'
ἀπεννέπεις, γέρον;
ΟΙ. μή, μή μ' ἀνέρῃ τίς εἰμι, μηδ' ἐξετάσῃς πέρα
ματεύων.
ΧΟ. τί τόδ'; ΟΙ. αἰνὰ φύσις. ΧΟ. αὔδα. ΟΙ. τέκνον,
ὤμοι, τί γεγώνω;
ΧΟ. τίνος εἶ σπέρματος, ὦ ξένε, φώνει, πατρόθεν.
ΟΙ. ὤμοι ἐγώ, τί πάθω, τέκνον ἐμόν;
ΑΝ. λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.
ΟΙ. ἀλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.
ΧΟ. μακρὰ μέλλετον, ἀλλὰ τάχυνε.
ΟΙ. Λαΐου ἴστε τιν'; ὤ. ΧΟ. ἰοὺ ἰού.
ΟΙ. τό τε Λαβδακιδᾶν γένος; ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ἄθλιον Οἰδιπόδαν; ΧΟ. σὺ γὰρ ὅδ' εἶ;
ΟΙ. δέος ἴσχετε μηδὲν ὅσ' αὐδῶ.
ΧΟ. ἰώ, ὢ ὤ· ΟΙ. δύσμορος. ΧΟ. ὢ ὤ.
ΟΙ. θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
ΧΟ. ἔξω πόρσω βαίνετε χώρας.
ΟΙ. ἃ δ' ὑπέσχεο ποῖ καταθήσεις;
ΧΟ. οὐδενὶ μοιριδία τίσις ἔρχεται
ὧν προπάθῃ τὸ τίνειν·
ἀπάτα δ' ἀπάταις ἑτέραις ἑτέρα
παραβαλλομένα πόνον, οὐ χάριν, ἀντιδίδωσιν ἔχειν.
σὺ δὲ τῶνδ' ἑδράνων πάλιν ἔκτοπος αὖθις ἄφορμος
ἐμᾶς

210 μὴ μὴ μή μ' MSS.: corr. Hartung. 212 τί τόδε; ΟΙ. δεινὰ MSS.: corr. Wunder. 217 βαίνεις Triclinius: μένεις L, A, vulg. 219 μέλλετ' L (μέλλετέ γ' Triclinius): corr. Hermann. 220 Λαΐου ἴστε τιν' ἀπόγονον; MSS.: corr. Reisig.

© in this web service Cambridge University Press www.cambridge.org